Καὶ εἶπεν ὁ κύριος Σαμουὴλ πρὸς τὸν Ἰεσσαὶ οὐκ ἐξελέξατο κύριος τούτους. καὶ ἐπερωτᾷ Σαμουὴλ τὸν Ἰεσσαί· ἐκτετέλεσται τὰ παιδάρια; καὶ εἶπεν Ἰεσσαί· ἔτι ὑπολείπεται ὁ μικρὸς καὶ ποιμαίνει τὰ πρόβατα. καὶ εἶπεν Σαμουὴλ τῷ Ἰεσσαί· ἀπόστειλον καὶ λαβὲ αὐτόν, ὅτι οὐ μὴ κατακλιθῶμεν ἕως οὗ ἔλθῃ ὧδε. καὶ ἀπέστειλεν καὶ εἰσήγαγεν αὐτόν· καὶ αὐτὸς ἦν πυρράκης μετὰ κάλλους ὀφθαλμῶν καὶ ἀγαθὸς τῷ εἴδει. καὶ εἶπεν κύριος πρὸς Σαμουήλ· ἀνάστηθι καὶ χρῖσον αὐτὸν ὅτι οὗτος ἀγαθός. καὶ ἔλαβεν Σαμουὴλ τὸ κέρας τοῦ ἐλαίου καὶ ἔχρισεν αὐτὸν ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ· καὶ ἐφῆλατο πνεῦμα κυρίου ἐπὶ Δαυὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπάνω. καὶ ἀνέστη Σαμουὴλ καὶ ἀπῆλθεν εἰς Ραμαθά.

καὶ πνεῦμα κυρίου ἀπέστη ἀπὸ Σαοὺλ καὶ ἐπόνει αὐτὸν πνεῦμα πονηρὸν παρὰ κυρίου. καὶ εἶπαν οἱ παῖδες Σαοὺλ πρὸς αὐτόν· ἰδοὺ δὴ πνεῦμα πονηρὸν παρὰ κυρίου ἐπόνει σε· εἰπάτω ὁ κύριος ἡμῶν τοῖς παισὶν τοῖς ἐνώπιόν σου καὶ ζητήσουσιν ἄνθρωπον ἐπιστάμενον ψάλλειν τῇ κιθάρᾳ καὶ ἔσται ἐὰν ἐπέλθῃ πνεῦμα πονηρὸν παρὰ κυρίου ἐπὶ σέ, καὶ ψαλεῖ τῇ χειρὶ αὐτοῦ καὶ εὐφρανθήσῃ σύ. καὶ εἶπεν Σαοὺλ τοῖς παισὶν αὐτοῦ· παρίδετε μοι ἄνθρωπον εὐπορεύοντα ψάλλειν καὶ φέρετε αὐτὸν πρός με. καὶ ἀπεκρίθη εἷς τῶν παιδαρίων καὶ εἶπεν· ἰδοὺ εἶδον υἱὸν τῷ Ἰεσσαὶ τῷ Βηθλεεμίτῃ ἐπιστάμενον ψάλλειν καὶ ἀνὴρ δυνατὸς ἰσχύϊ καὶ ἀνὴρ πολεμιστὴς καὶ συνετὸς ῥήμασιν καὶ ἀνὴρ ὡραῖος εἴδει καὶ κύριος μετ' αὐτοῦ. καὶ ἀπέστειλεν Σαοὺλ ἀγγέλους πρὸς Ἰεσσαὶ λέγων· ἀπόστειλον πρός με τὸν υἱόν σου τὸν ἐν τοῖς προβάτοις. καὶ ἔλαβεν Ἰεσσαὶ ὄνον καὶ ἄρτους καὶ ἀσκὸν οἴνου καὶ ἔριφον αἰγῶν ἕνα καὶ ἀπέστειλεν διὰ χειρὸς Δαυὶδ τοῦ υἱοῦ αὐτοῦ πρὸς Σαούλ. καὶ ἦλθεν Δαυὶδ πρὸς Σαοὺλ καὶ παρέστη ἐνώπιον αὐτοῦ· καὶ ἠγάπησεν αὐτὸν σφόδρα σφόδρα καὶ ἐγένετο αὐτῷ ὑποφέρων τὰ ὅπλα. καὶ ἀπέστειλεν Σαοὺλ πρὸς Ἰεσσαὶ λέγων· παρεστάτω Δαυὶδ ἐνώπιόν μου, ὅτι εὗρεν χάριν ἐναντίον μου σφόδρα. καὶ ἐγένετο ἐν τῷ εἶναι πνεῦμα πονηρὸν παρὰ κυρίου ἐπὶ Σαοὺλ καὶ Δαυὶδ λαβὼν τὴν κιθάραν ἔψαλλεν τῇ χειρὶ αὐτοῦ καὶ ἀνέψυχεν Σαοὺλ καὶ εὐφραίνετο καὶ ἀπέστη τὸ πνεῦμα τὸ πονηρὸν ἀπ' αὐτοῦ.

καὶ συνήγαγον οἱ ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν εἰς πόλεμον καὶ συνήχθησαν εἰς Σοκχὼθ τῆς Ἰούδα καὶ παρενέβαλον ἀνὰ μέσον Σοκχὼθ καὶ ἀνὰ μέσον Ἀζηκὰ ἐν τοῖς ὁρίοις αὐτῶν. καὶ Σαοὺλ καὶ οἱ υἱοὶ Ἰσραὴλ συνήχθησαν καὶ παρενέβαλον ἐν τῇ κοιλάδι τῆς τερμίνθου καὶ παρετάξαντο εἰς πόλεμον ἐναντίον τῶν ἀλλοφύλων. καὶ οἱ ἀλλόφυλοι εἱστήκεισαν ἐπὶ τοῦ ὄρους ἐντεῦθεν καὶ Ἰσραὴλ εἱστήκει ἐπὶ τοῦ ὄρους ἐντεῦθεν καὶ ἡ κοιλὰς ἀνὰ μέσον αὐτῶν. καὶ ἐξῆλθεν ἀνὴρ διαστήμων ἐκ τῆς παρεμβολῆς τῶν ἀλλοφύλων ὀνόματι Γολιὰθ ἐκ Γεθ, ὕψος αὐτοῦ ἓξ πήχεων καὶ σπιθαμή· καὶ κράνος χαλκοῦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ θώραξ ἁλυσιδωτὸς αὐτὸς καὶ ἦν ὁ σταθμὸς τοῦ θώρακος αὐτοῦ πέντε χιλιάδες σίκλων χαλκοῦ· καὶ κνημῖδες χαλκαῖ περὶ τοὺς πόδας αὐτοῦ καὶ ἀσπὶς χαλκῆ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ· καὶ ἡ ἔντασις τοῦ δόρατος αὐτοῦ ὡς ἄντυξ τοῦ ἀετοῦ καὶ ἡ ἀκμὴ τοῦ δόρατος αὐτοῦ ἑξακόσιοι σίκλοι σιδήρου καὶ ὁ ὑσπιστὴς αὐτοῦ προπορευόμενος αὐτοῦ. καὶ ἔστη καὶ ἐβόησεν πρὸς τὰς παρεμβολὰς Ἰσραὴλ καὶ εἶπεν αὐτοῖς· ἵνα τί ἐξήλθετε παρατάξασθαι πόλεμον; οὐχὶ ἐγὼ ἀλλόφυλος καὶ ὑμεῖς παῖδες Σαούλ; ἐκλέξασθε ὑμῖν ἄνδρα καὶ καταβήτω πρός με· ἐὰν δυνηθῇ πολεμῆσαι μετ' ἐμοῦ καὶ πατάξῃ με, καὶ ἐσόμεθα ὑμῖν εἰς δούλους· ἐὰν δὲ ἐγὼ ἰσχύσω κατ' αὐτοῦ καὶ πατάξω αὐτόν, καὶ ἔσεσθε ἡμῖν εἰς δούλους καὶ δουλεύσετε ἡμῖν. καὶ εἶπεν ὁ ἀλλόφυλος· ἐγὼ ὀνείδισα τὰς παρεμβολὰς Ἰσραὴλ τὴν σήμερον ἡμέραν· δότε μοι ἄνδρα καὶ πολεμήσωμεν μετ' ἀλλήλων. καὶ ἤκουσεν Σαοὺλ καὶ πᾶς Ἰσραὴλ τοὺς λόγους τοῦ ἀλλοφύλου τούτου καὶ ἐθορυβήθησαν καὶ ἐφοβήθησαν σφόδρα.

καὶ Δαυὶδ ἦν υἱὸς τοῦ ἀνδρὸς τοῦ Ἐφραθαίου τοῦ ἀπὸ Βηθλεὲμ τῆς Ἰούδα, ᾧ ὄνομα Ἰεσσαί, καὶ αὐτῷ ὀκτὼ υἱοὶ καὶ ἦν ὁ ἀνὴρ ἐν ἡμέραις Σαοὺλ πρεσβύτης ἐν ἀνθρώποις. καὶ ἐπορεύθησαν οἱ τρεῖς υἱοὶ τοῦ Ἰεσσαὶ τοῦ πρωτοτόκου καὶ ὁ δεύτερος αὐτοῦ καὶ ὁ τρίτος αὐτοῦ καὶ ἐπορεύθησαν ὀπίσω Σαούλ· καὶ τὰ ὀνόματα τῶν τριῶν τῶν πορευθέντων τῶν πρωτοτόκων αὐτοῦ καὶ ὁ πρωτότοκος αὐτοῦ Ἐλιὰβ καὶ ὁ δεύτερος αὐτοῦ Ἀμιναδὰβ καὶ ὁ τρίτος αὐτοῦ Σαμμά. καὶ Δαυὶδ ὁ μικρός· καὶ οἱ τρεῖς ὀπίσω Σαούλ· καὶ Δαυὶδ ἐπορεύετο καὶ ἐποίμαινεν τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ ἐν Βηθλεέμ. καὶ ἐγγίζων ὁ ἀλλόφυλος ὀρθρίζων καὶ ἑσπερινὸς καὶ παρεστήκει τεσσαράκοντα ἡμέρας. καὶ εἶπεν Ἰεσσαὶ πρὸς Δαυὶδ τὸν υἱὸν αὐτοῦ· λάβε δὴ τοῖς ἀδελφοῖς σου ἀπὸ τοῦ ἑβδόμου τούτου καὶ τοὺς δέκα ἄρτους τούτους καὶ δεῦρο εἰς τὴν παρεμβολὴν πρὸς τοὺς ἀδελφούς σου· καὶ τὰ δέκα τυρὸν τοῦτο δὸς τῷ χιλιάρχῳ καὶ τὰ ἀδέλφια σου ἐπίσκεψαι εἰ εἰρηνεύουσιν καὶ τὸ ἐνέχυρον λάβε παρ' αὐτῶν. καὶ Σαοὺλ καὶ αὐτοὶ καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐν τῇ κοιλάδι τερμίνθου μαχόμενοι μετὰ τῶν ἀλλοφύλων. καὶ ὤρθρισεν Δαυὶδ τὸ πρωὶ καὶ ἀπέστειλεν τὰ πρόβατα πρὸς φύλακα καὶ ἔλαβεν καὶ ἀπῆλθεν καθότι ἐνετείλατο αὐτῷ Ἰεσσαί· καὶ ἦλθεν εἰς τὸ ὀχύρωμα καὶ ἡ δύναμις ἐξεπορεύετο εἰς τὸν πόλεμον καὶ ἐκραύγασαν ἐν τῇ παρατάξει. καὶ παρετάξαντο Ἰσραὴλ καὶ οἱ ἀλλόφυλοι παράταξιν πρὸς παράταξιν. καὶ ἐγκατέλιπεν Δαυὶδ τὰ σκεύη ἃ ἦλθεν ἐν αὐτοῖς ἐπὶ χεῖρα τοῦ φύλακος τῶν σκευῶν καὶ ἔδραμεν εἰς τὴν παράταξιν καὶ ἦλθεν καὶ ἠσπάσατο τοὺς ἀδελφοὺς αὐτοῦ. καὶ ἐν τῷ λαλεῖν αὐτὸν μετ' αὐτῶν καὶ ἰδοὺ ὁ ἀνὴρ ὁ διαστήμων ἀνέβαινεν ὀνόματι Γολιὰθ ὁ ἀλλόφυλος ἐκ Γεθ ἐκ τῆς παρεμβολῆς τῶν ἀλλοφύλων καὶ ἐλάλησεν κατὰ τοὺς λόγους τούτους καὶ ἤκουσεν Δαυίδ. καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐν τῷ ἰδεῖν τὸν ἄνδρα καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ καὶ ἐφοβήθησαν σφόδρα. καὶ εἶπεν ἀνὴρ Ἰσραὴλ πρὸς τὸν πλησίον αὐτοῦ· ἆρα γε εἶδες τὸν ἄνδρα τὸν ἀναβαίνοντα τοῦτον; ὅτι ἐπὶ τὸ ὀνειδίσαι τὸν Ἰσραὴλ ἀναβαίνει· καὶ ἔσται ὁ ἀποκτείνας αὐτὸν πλουτίσει αὐτὸν ὁ βασιλεὺς πλούτῳ μεγάλῳ καὶ τὴν θυγατέρα αὐτοῦ δώσει αὐτῷ καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ἐλευθερώσει ἐν Ἰσραήλ. καὶ εἶπεν Δαυὶδ πρὸς τοὺς ἄνδρας τοὺς παρεστηκότας αὐτῷ λέγων· τί ποιήσει τῷ ἀνδρὶ τῷ πατάξαντι τὸν ἀλλόφυλον τὸν ἐπιτετραμμένον τοῦτον καὶ περιελόντα τὸν ὀνειδισμὸν ἀπὸ τοῦ λαοῦ; ὅτι τίς ἐστιν ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος οὗτος ὅτι ὠνείδισεν τὰς παρεμβολὰς θεοῦ ζῶντος; καὶ ἀπεκρίθη ὁ λαὸς τὸν λόγον τοῦτον λέγων· οὕτως ποιήσει τῷ ἀνδρὶ τῷ πατάξαντι αὐτόν. καὶ ἤκουσεν Ἐλιὰβ ὁ ἀδελφὸς αὐτοῦ ὁ μέγας ἐν τῷ λαλῆσαι αὐτὸν πρὸς τοὺς ἄνδρας καὶ ἐθυμώθη ὀργῇ Ἐλιὰβ ἐν Δαυὶδ καὶ εἶπεν· ἵνα τί κατέβης ὧδε; καὶ πρὸς τίνα ἐγκατέλιπες τὰ ὀλίγα ἐκεῖνα ἐν τῇ ἐρήμῳ; ἐγὼ ἔγνων τὴν ὑπερηφανίαν σου καὶ τὴν πονηρίαν τῆς καρδίας σου ὅτι ἵνα τὸν πόλεμον ὄψῃ κατέβης. καὶ εἶπεν Δαυὶδ· τί ἐποίησα νῦν; ὅτι λόγος ἐστίν. καὶ ἐξέκλινεν ἀπ' αὐτοῦ πρὸς ἕτερον καὶ εἶπεν κατὰ τὸν λόγον τοῦτον καὶ ἀπεκρίθη ὁ λαὸς αὐτῷ κατὰ τὸν λόγον τὸν πρότερον. καὶ ἤκουσαν οἱ λόγοι οὓς ἐλάλησεν Δαυὶδ καὶ ἀπήγγειλαν ἐναντίον Σαούλ· καὶ ἀπέστειλεν αὐτὸν πρὸς αὐτόν. καὶ εἶπεν Δαυὶδ πρὸς Σαούλ· μὴ πεσέτω καρδία ἀνθρώπου ἐπ' αὐτῷ· ὁ δοῦλός σου πορεύσεται καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου. καὶ εἶπεν Σαοὺλ πρὸς Δαυίδ· οὐ μὴ δύνῃ τοῦ ἐλθεῖν πρὸς τὸν ἀλλόφυλον τοῦτον τοῦ πολεμῆσαι μετ' αὐτοῦ ὅτι νεώτερος εἶ σὺ καὶ οὗτος ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ. καὶ εἶπεν Δαυὶδ πρὸς Σαούλ· ὁ δοῦλός σου ἦν ποιμαίνων τῷ πατρὶ αὐτοῦ ἐν τοῖς προβάτοις καὶ ἦλθεν ὁ λέων καὶ ἡ ἄρκος καὶ ἔλαβεν πρόβατον ἐκ τοῦ ποιμνίου καὶ ἐξῆλθον ὀπίσω αὐτοῦ καὶ ἐπάταξα αὐτὸν καὶ ἐξέσπασα ἐκ τοῦ στόματος αὐτοῦ· καὶ ἀνέστη ἐπ' ἐμὲ καὶ ἐκράτησα τοῦ πώγωνος αὐτοῦ καὶ ἐπάταξα αὐτὸν καὶ ἐθανάτωσα αὐτόν. καὶ τὸν λέοντα καὶ τὴν ἄρκον ἐπάταξεν ὁ δοῦλός σου καὶ ἔσται ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος οὗτος ὡς εἷς ἐξ αὐτῶν, ὅτι ὠνείδισεν τὰς παρεμβολὰς θεοῦ ζῶντος. καὶ εἶπεν Δαυὶδ· κύριος ὁ ῥυσάμενός με ἐκ χειρὸς τοῦ λέοντος καὶ ἐκ χειρὸς τῆς ἄρκου αὐτὸς ῥύσεται με ἐκ χειρὸς τοῦ ἀλλοφύλου τούτου. καὶ εἶπεν Σαοὺλ πρὸς Δαυίδ· πορεύου καὶ κύριος ἔσται μετὰ σοῦ. καὶ περιέθηκεν Σαοὺλ τὸν Δαυὶδ τὴν στολὴν αὐτοῦ καὶ ἐπέθηκεν περικεφαλαίαν χαλκῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἐνέδυσεν αὐτὸν θώρακα. καὶ περιεζώσατο Δαυὶδ τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ τῇ στολῇ αὐτοῦ καὶ ἤρξατο πορεύεσθαι· οὐ γὰρ ἐπείρασεν. καὶ εἶπεν Δαυὶδ πρὸς Σαούλ· οὐ μὴ δύνωμαι ἐν τούτοις πορεύεσθαι, ὅτι οὐ πεπείραμαι. καὶ ἐξέδυσεν αὐτὰ Δαυίδ. καὶ ἔλαβεν τὴν ῥάβδον αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐξελέξατο ἑαυτῷ πέντε λίθους λείους ἐκ τοῦ χειμάρρου καὶ ἔβαλεν αὐτοὺς εἰς τὸν ποιμενικὸν καὶ εἰς τὴν πήραν καὶ ἡ σφενδόνη ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἤγγισεν πρὸς τὸν ἀλλόφυλον. καὶ ἐπορεύετο ὁ ἀλλόφυλος πορευόμενος καὶ ἤγγιζεν πρὸς Δαυίδ· καὶ ὁ ἀνὴρ ὁ ἀσπιστὴς αὐτοῦ ἔμπροσθεν αὐτοῦ. καὶ ἐπέβλεψεν ὁ ἀλλόφυλος καὶ εἶδεν τὸν Δαυὶδ καὶ ἐξουδένωσεν αὐτόν, ὅτι ἦν παιδάριον καὶ πυρράκης μετὰ κάλλους ὀφθαλμῶν καὶ ἀγαθὸς τῷ εἴδει. καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς Δαυίδ· μὴ κύων ἐγώ εἰμι ὅτι σὺ ἔρχῃ πρός με ἐν ῥάβδῳ καὶ λίθοις; καὶ κατηράσατο ὁ ἀλλόφυλος τὸν Δαυὶδ ἐν τοῖς θεοῖς αὐτοῦ. καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς Δαυίδ· δεῦρο πρός με καὶ δώσω τὰ κρέα σου τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ εἶπεν Δαυὶδ πρὸς τὸν ἀλλόφυλον· σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἐν ἀσπίδι, ἐγὼ δὲ ἔρχομαι πρὸς σὲ ἐν ὀνόματι κυρίου σαβαὼθ θεοῦ τῶν παρεμβολῶν Ἰσραὴλ ὃν ὠνείδισας τὴν σήμερον ἡμέραν· καὶ συγκλείσει σε κύριος σήμερον εἰς τὰς χεῖράς μου καὶ πατάξω σε καὶ περιελῶ τὴν κεφαλήν σου ἀπὸ σοῦ καὶ δώσω τὰ κρέα τῆς παρεμβολῆς τῶν ἀλλοφύλων τὴν σήμερον ἡμέραν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς· καὶ γνώσεται πᾶσα ἡ γῆ ὅτι ἔστιν θεὸς ἐν Ἰσραήλ. καὶ γνώσεται πᾶσα ἡ συναγωγὴ αὕτη ὅτι οὐ σώζει κύριος ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι· ὅτι κυρίου ἐστὶν ὁ πόλεμος καὶ παραδώσει κύριος ὑμᾶς εἰς τὰς χεῖρας ἡμῶν. καὶ ἐγένετο ἐν τῷ ἀναστῆναι τὸν ἀλλόφυλον καὶ πορεύεσθαι καὶ ἐγγίζειν εἰς συνάντησιν τοῦ Δαυὶδ καὶ ἔσπευσεν Δαυὶδ καὶ ἔδραμεν εἰς τὴν παράταξιν εἰς συνάντησιν τοῦ ἀλλοφύλου. καὶ ἐνέβαλεν Δαυὶδ τὴν χεῖρα αὐτοῦ εἰς τὴν πήραν καὶ ἔλαβεν ἐκεῖθεν λίθον καὶ ἐσφενδόνησεν καὶ ἐπάταξεν τὸν ἀλλόφυλον εἰς τὸ μέτωπον αὐτοῦ καὶ ἐνεπάγη ὁ λίθος εἰς τὸ μέτωπον αὐτοῦ καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ ἐκραταίωσεν Δαυὶδ ἐν τῇ σφενδόνῃ καὶ ἐν τῷ λίθῳ καὶ ἐπάταξεν τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν αὐτόν· καὶ οὐκ ἦν μάχαιρα ἐν τῇ χειρὶ Δαυίδ. καὶ ἔδραμεν Δαυὶδ καὶ ἔστη ἐπὶ τὸν ἀλλόφυλον καὶ ἔλαβεν τὴν μάχαιραν αὐτοῦ καὶ ἐσπάσατο αὐτὴν ἐκ τοῦ κολεοῦ αὐτῆς καὶ ἀπέκτεινεν αὐτὸν καὶ ἀπέκοψεν τὴν κεφαλὴν αὐτοῦ ἐν αὐτῇ· καὶ εἶδον οἱ ἀλλόφυλοι ὅτι τέθνηκεν ὁ δυνατὸς αὐτῶν καὶ ἔφυγον. καὶ ἀνέστησαν οἱ ἄνδρες Ἰσραὴλ καὶ Ἰούδα καὶ ἀνεβόησαν καὶ κατεδίωξαν τοὺς ἀλλοφύλους ἕως τοῦ ἐλθεῖν εἰς τὴν φάραγγα καὶ ἕως τῶν πυλῶν Ἀζηκά· καὶ ἔπεσον τραυματίαι τῶν ἀλλοφύλων ἐν τῇ ὁδῷ τῇ πρὸς Σααριὰμ καὶ ἕως Γὲθ καὶ ἕως Ἀζηκά. καὶ ἐπέστρεψαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τοῦ διώκειν ὀπίσω τῶν ἀλλοφύλων καὶ ἐπῆλθον τὰς παρεμβολὰς αὐτῶν. καὶ ἔλαβεν Δαυὶδ τὴν κεφαλὴν τοῦ ἀλλοφύλου καὶ ἤνεγκεν αὐτὴν εἰς Ἰερουσαλήμ· καὶ τὰ ὅπλα αὐτοῦ ἔθετο ἐν τῷ οἴκῳ αὐτοῦ.

καὶ ἐν τῷ ἐξελθεῖν Δαυὶδ εἰς συνάντησιν τοῦ ἀλλοφύλου ἔδωκεν Σαοὺλ τὴν θυγατέρα αὐτοῦ τὴν πρεσβυτέραν Μελχὸλ γυναῖκα τῷ Δαυίδ· καὶ αὐτὴ ἐφίλησεν τὸν Δαυίδ. καὶ ἀπήγγειλαν τῷ Σαοὺλ λέγοντες· ἰδοὺ ἠράσθη Μελχὸλ θυγάτηρ Σαοὺλ τῷ Δαυίδ· καὶ ἐφάνη τὸ ῥῆμα ἐναντίον Σαούλ· καὶ εἶπεν Σαοὺλ· δώσω αὐτὴν αὐτῷ καὶ ἔσται αὐτῷ εἰς σκάνδαλον καὶ ἔσται ἐπ' αὐτὸν χεὶρ ἀλλοφύλων. καὶ εἶπεν Σαοὺλ τῷ Δαυίδ· ἐν δευτέρᾳ γαμβρεύσεις σήμερον. καὶ ἐνετείλατο Σαοὺλ τοῖς παισὶν αὐτοῦ λέγων· λαλήσατε πρὸς Δαυὶδ λάθρᾳ λέγοντες· ἰδοὺ ἠράσθη σου ὁ βασιλεύς καὶ πάντες οἱ παῖδες αὐτοῦ ἀγαπῶσιν σε· καὶ νῦν γίνου γαμβρὸς τοῦ βασιλέως. καὶ ἐλάλησαν οἱ παῖδες Σαοὺλ εἰς τὰ ὦτα Δαυὶδ κατὰ τοὺς λόγους τούτους καὶ εἶπεν Δαυὶδ· μὴ κοῦφον ἐν ὀφθαλμοῖς ὑμῶν γαμβρεύειν τῷ βασιλεῖ; ἐγὼ δὲ ἀνὴρ πένης καὶ ἄδοξος. καὶ ἀπήγγειλαν οἱ παῖδες Σαοὺλ αὐτῷ λέγοντες· κατὰ τοὺς λόγους τούτους ἐλάλησεν Δαυίδ. καὶ εἶπεν Σαοὺλ· οὕτως ἐρεῖτε τῷ Δαυίδ· οὐκ ἐν προικὶ θέλει ὁ βασιλεὺς ἀλλ' ἢ ἑκατὸν ἀκροβυστίας ἀλλοφύλων τοῦ ἐκδικῆσαι ἐκδίκησιν ἐν τοῖς ἐχθροῖς τοῦ βασιλέως. καὶ Δαυὶδ ἐπεθύμησεν τοῦ ἐμπεσεῖν ἐν τοῖς υἱοῖς τῶν ἀλλοφύλων· καὶ ἀνέστη Δαυὶδ καὶ ἐπορεύθη αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις διακοσίους ἄνδρας καὶ ἤνεγκεν Δαυὶδ τὰς ἀκροβυστίας αὐτῶν καὶ ἔδωκεν αὐτὰς τῷ βασιλεῖ πλήρεις τοῦ γαμβρεῦσαι τῷ βασιλεῖ· καὶ ἔδωκεν Σαοὺλ τὴν θυγατέρα αὐτοῦ Μελχὸλ γυναῖκα τῷ Δαυίδ. καὶ εἶδεν Σαοὺλ καὶ ἔγνω ὅτι κύριος μετὰ Δαυὶδ καὶ Μελχὸλ θυγάτηρ Σαοὺλ ἠγάπησεν αὐτόν· καὶ ἐφοβήθη Σαοὺλ ἀπὸ προσώπου Δαυὶδ ἔτι μᾶλλον καὶ ἦν Σαοὺλ ἐχθρὸς τῷ Δαυὶδ πάσας τὰς ἡμέρας. καὶ ἐξῆλθον ἄρχοντες ἀλλοφύλων καὶ ἐγένετο ἐν τῷ ἐξελθεῖν αὐτοὺς καὶ ἐπῆλθεν Δαυὶδ πάντων τῶν παίδων Σαοὺλ καὶ ἐτιμήθη τὸ ὄνομα αὐτοῦ σφόδρα.

καὶ ἐλάλησεν Σαοὺλ πρὸς Ἰωναθὰν τὸν υἱὸν αὐτοῦ καὶ πρὸς πάντας τοὺς παῖδας αὐτοῦ τοῦ θανατῶσαι τὸν Δαυίδ· καὶ Ἰωναθὰν υἱὸς Σαοὺλ ἐθελήσας ἐν Δαυίδ καὶ ἀπήγγειλεν Ἰωναθὰν τῷ Δαυὶδ λέγων· ζητεῖ Σαοὺλ ὁ πατήρ μου θανατῶσαί σε· καὶ νῦν πρόσεχε σεαυτῷ τὸ πρωὶ καὶ κρύβηθι ἐν τῷ ἀποκρύφῳ καὶ κρύπτου· καὶ ἐγὼ ἐξελεύσομαι καὶ στήσομαι ἐπὶ τὸ πλάγιον τοῦ πατρός μου ἐν τῷ ἀγρῷ οὗ ἐὰν ἦς ἐκεῖ καὶ ἐγὼ λαλήσω περὶ σοῦ πρὸς τὸν πατέρα μου καὶ ὄψομαι καὶ ἀπαγγελῶ σοι. καὶ ἐλάλησεν Ἰωναθὰν περὶ Δαυὶδ πρὸς Σαοὺλ τὸν πατέρα αὐτοῦ καὶ εἶπεν πρὸς αὐτόν· μὴ ἁμαρτησάτω ὁ βασιλεὺς εἰς τὸν δοῦλον αὐτοῦ εἰς Δαυίδ, ὅτι οὐκ ἐποίησεν εἰς σὲ κακά, καὶ τὰ ἔργα αὐτοῦ ἀγαθὰ σφόδρα· καὶ ἔθετο τὴν ψυχὴν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐπάταξεν τὸν ἀλλόφυλον καὶ ἐποίησεν κύριος σωτηρίαν μεγάλην τῷ παντὶ Ἰσραήλ· σὺ εἶδες καὶ ἐχάρης· καὶ ἵνα τί ἁμαρτάνεις αἷμα ἀθῷον θανατῶσαι τὸν Δαυὶδ δωρεάν; καὶ ἤκουσεν Σαοὺλ τῆς φωνῆς Ἰωναθὰν καὶ ὤμοσεν Σαοὺλ ζῇ κύριος, εἰ ἀποθανεῖται. καὶ ἐκάλεσεν Ἰωναθὰν τὸν Δαυὶδ καὶ ἀπήγγειλεν αὐτῷ Ἰωναθὰν πάντα τὰ ῥήματα ταῦτα καὶ εἰσήγαγεν Ἰωναθὰν τὸν Δαυὶδ πρὸς Σαούλ· καὶ ἦν ἐνώπιον αὐτοῦ καθὼς ἐχθὲς καὶ τρίτην ἡμέραν. καὶ προσέθετο ἔτι πόλεμος γενέσθαι· καὶ ἐξῆλθεν Δαυὶδ καὶ ἐπολέμησεν μετὰ τῶν ἀλλοφύλων καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ. καὶ ἐγένετο πνεῦμα πονηρὸν παρὰ κυρίου ἐπὶ Σαοὺλ καὶ αὐτὸς ἐν τῷ οἴκῳ αὐτοῦ καθήμενος καὶ ἔγχος ἐν τῇ χειρὶ αὐτοῦ καὶ Δαυὶδ ἔψαλλεν τῇ χειρὶ αὐτοῦ. καὶ ἐζήτησεν Σαοὺλ τοῦ πατάξαι τῷ ἔγχει τὸν Δαυὶδ καὶ τὸν τοῖχον καὶ ἐξέκλινεν ἀπὸ προσώπου Σαοὺλ καὶ ἐπάταξεν τὸ ἔγχος εἰς τὸν τοῖχον καὶ Δαυὶδ ἔφυγεν καὶ διεσώθη ἐν τῇ νυκτὶ ἐκείνῃ. καὶ ἀπέστειλεν Σαοὺλ ἀγγέλους εἰς τὸν οἶκον Δαυὶδ τοῦ τηρῆσαι αὐτὸν καὶ θανατῶσαι αὐτὸν τὸ πρωί· καὶ ἀπήγγειλεν Μελχὸλ γυνὴ Δαυὶδ λέγουσα· ἐὰν μὴ σὺ σώσῃς τὴν ψυχήν σου ἐν τῇ νυκτὶ ταύτῃ αὔριον σὺ θανατωθήσῃ. καὶ κατέβη Μελχὸλ τὸν Δαυὶδ διὰ τῆς θυρίδος καὶ ἀπῆλθεν καὶ ἔφυγεν καὶ διεσώθη. καὶ ἔλαβεν Μελχὸλ τὰ εἴδωλα καὶ ἔθετο ἐπὶ τὴν κλίνην καὶ τὸ προσκεφάλαιον τριχῶν αἰγείων ἔθετο πρὸς κεφαλῆς αὐτοῦ καὶ ἐκάλυψεν ἱματίῳ. καὶ ἀπέστειλεν Σαοὺλ ἀγγέλους τοῦ λαβεῖν τὸν Δαυίδ· καὶ εἶπεν ἀσθενεῖ. καὶ ἀπέστειλεν Σαοὺλ τοὺς ἀγγέλους τοῦ ἰδεῖν τὸν Δαυίδ λέγων· ἀνάβητε πρός με ἐν τῇ κλίνῃ ταύτῃ τοῦ θανατῶσαι αὐτόν. καὶ ἦλθον οἱ ἄγγελοι καὶ ἰδοὺ τὰ εἴδωλα ἐπὶ τῆς κλίνης καὶ τὸ προσκεφάλαιον τριχῶν αἰγείων πρὸς κεφαλῆς αὐτοῦ. καὶ εἶπεν Σαοὺλ πρὸς Μελχόλ· ἵνα τί οὕτως ἐξηπάτησάς με καὶ ἐξαπέστειλας τὸν ἐχθρόν μου καὶ διασέσωσται; καὶ ἀπεκρίθη Μελχὸλ τῷ Σαούλ· ὅτι αὐτὸς εἶπεν πρός με· ἐξαπόστειλόν με, ἵνα τί θανατῶσαί σε; καὶ Δαυὶδ ἔφυγεν καὶ διεσώθη καὶ ἦλθεν πρὸς Σαμουὴλ εἰς Ραμαθὰ καὶ ἀπήγγειλεν αὐτῷ πάντα ὅσα ἐποίησεν αὐτῷ Σαοὺλ καὶ ἐπορεύθη αὐτὸς καὶ Σαμουὴλ καὶ ἐκάθισαν ἐν Ναυείθ. καὶ ἀπήγγειλαν τῷ Σαοὺλ λέγοντες· ἰδοὺ Δαυὶδ ἐν Ναυὶθ ἐν Ραμαθά. καὶ ἀπέστειλεν Σαοὺλ ἀγγέλους τοῦ λαβεῖν τὸν Δαυίδ· καὶ εἶδον τὴν συναγωγὴν τῶν προφητῶν προφητεύοντας καὶ Σαμουὴλ ἑστηκὼς προϊστάμενος αὐτῶν· καὶ ἐγένετο πνεῦμα θεοῦ ἐπὶ τοὺς ἀγγέλους Σαοὺλ καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ ἀπήγγειλαν τῷ Σαούλ· καὶ ἀπέστειλεν Σαοὺλ ἀγγέλους ἕτερους καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ προσέθετο Σαοὺλ καὶ ἀπέστειλεν ἀγγέλους τρίτους καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ ἐπορεύθη καὶ αὐτὸς εἰς Ραμαθὰ καὶ ἦλθεν ἕως τοῦ φρέατος τοῦ μεγάλου τοῦ ἐν Σεφὶ καὶ ἐπηρώτησεν καὶ εἶπεν· ποῦ εἰσὶν Σαμουὴλ καὶ Δαυίδ; καὶ εἶπεν αὐτῷ τις· ἰδοὺ ἐν Ναυὶθ ἐν Ραμαθά. καὶ ἐπορεύθη ἐκεῖ καὶ ἐγένετο καὶ αὐτὸν πνεῦμα θεοῦ καὶ ἐπορεύετο καὶ προεφήτευεν ἕως τοῦ ἐλθεῖν αὐτὸν ἕως Ναυὶθ ἐν Ραμαθά. καὶ ἐξεδύσατο καὶ αὐτὸς τὰ ἱμάτια αὐτοῦ καὶ προεφήτευσεν καὶ α

ἔλθῃ ἐπειδὴ δὲν γνωρίζουν ἐγὼ καὶ διὰ συγγραφικὰ
οὔτε διὰ τὰ ἔργα τοῦ [illegible] καί [illegible], ἐγὼ [illegible]
συγγραφικὰ [illegible] διὰ [illegible] τὰ ἔργα τοῦ
[illegible] ἄλλο καί [illegible]
Περὶ [illegible] ἀξία τὸ [illegible] καὶ
τὰ συγγραφικὰ χρήματα διὰ τὸ χατήρι του ἀλλὰ
[illegible] καὶ διὰ [illegible] αὐτὰ τὰ [illegible]
τοῦ [illegible] ὁ [illegible]
[illegible] διὰ [illegible] ὁ [illegible]
[illegible] ὁ [illegible] συγγραφικὰ τὰ [illegible] τοῦ [illegible]
ἀλλὰ ὁ [illegible] διὰ τὰ [illegible]
καὶ [illegible] τὸ [illegible] τοῦ [illegible] αὐτὰ διὰ τὰ [illegible]
[illegible] εἰς 25 25½ καὶ [illegible] διὰ [illegible]
[illegible] οἱ [illegible] καὶ διὰ τὰ [illegible]
τοῦ [illegible] ὁ [illegible] τὸ συγγραφικὸν
τὸ [illegible] καὶ τὸ [illegible] τὰ συγγραφικὰ
τὰ συγγραφικὰ ἐγὼ [illegible] καὶ τὰ [illegible]
[illegible] καὶ [illegible] οἱ [illegible]
[illegible] αὐτὰ διὰ τὸ [illegible], αὐτὰ
[illegible] ὁ [illegible] τὰ [illegible] ἐγὼ
[illegible] καὶ τὰ [illegible] τοῦ [illegible]
[illegible] εἰς [illegible] τὸ [illegible] τὸ [illegible]
ἐγὼ [illegible] τὴν [illegible]
[illegible] μὲ τὴν [illegible]
[illegible]